# 89. THE EPILEPTIC BOY (Mk-Lk Identical)

| Mark 9:14-29 | Luke 9:37-43a |
|---|---|
| | Ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ |
| Καὶ ἐλθόντες | κατελθόντων αὐτῶν |
| πρὸς τοὺς μαθητὰς | ἀπὸ τοῦ ὄρους |
| εἶδον ὄχλον πολὺν περὶ αὐτοὺς | συνήντησεν αὐτῷ ὄχλος πολύς. |
| καὶ γραμματεῖς συζητοῦντας πρὸς αὐτούς. 15 καὶ εὐθὺς πᾶς ὁ ὄχλος ἰδόντες αὐτὸν ἐξεθαμβήθησαν, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. 16 καὶ ἐπηρώτησεν αὐτούς, Τί συζητεῖτε πρὸς αὐτούς | |
| 17 καὶ ἀπεκρίθη αὐτῷ εἷς | 38 καὶ ἰδοὺ ἀνὴρ |
| ἐκ τοῦ ὄχλου, | ἀπὸ τοῦ ὄχλου ἐβόησεν λέγων, |
| Διδάσκαλε, ἤνεγκα | Διδάσκαλε, δέομαί σου ἐπιβλέψαι |
| τὸν υἱόν μου πρὸς σέ, | ἐπὶ τὸν υἱόν μου, |
| | ὅτι μονογενής μοί ἐστιν, |
| ἔχοντα πνεῦμα ἄλαλον· | 39 καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτόν, |
| | καὶ ἐξαίφνης κράζει, |
| 18 καὶ ὅπου ἐὰν αὐτὸν καταλάβῃ | |
| ῥήσσει αὐτόν, | καὶ σπαράσσει αὐτὸν |
| καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας καὶ ξηραίνεται· | μετὰ ἀφροῦ |
| | καὶ μόγις ἀποχωρεῖ ἀπ αὐτοῦ |
| | συντρῖβον αὐτόν· |
| καὶ εἶπα | 40 καὶ ἐδεήθην |
| τοῖς μαθηταῖς σου | τῶν μαθητῶν σου |
| ἵνα αὐτὸ ἐκβάλωσιν, | ἵνα ἐκβάλωσιν αὐτό, |
| καὶ οὐκ ἴσχυσαν. | καὶ οὐκ ἠδυνήθησαν. |
| 19 ὁ δὲ ἀποκριθεὶς αὐτοῖς | 41 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς |
| λέγει, | εἶπεν, |
| Ὦ γενεὰ ἄπιστος, | Ὦ γενεὰ ἄπιστος |
| | καὶ διεστραμμένη, |
| ἕως πότε πρὸς ὑμᾶς ἔσομαι | ἕως πότε ἔσομαι πρὸς ὑμᾶς |
| ἕως πότε ἀνέξομαι ὑμῶν | καὶ ἀνέξομαι ὑμῶν |
| φέρετε αὐτὸν πρός με. | προσάγαγε ὧδε τὸν υἱόν σου. |

| | |
|---|---|
| *20 καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν.* | |
| *καὶ ἰδὼν αὐτὸν* | *42 ἔτι δὲ προσερχομένου αὐτοῦ* |
| *τὸ πνεῦμα* | *ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον* |
| *εὐθὺς συνεσπάραξεν αὐτόν,* | *καὶ συνεσπάραξεν·* |
| *καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων.*<br>*21 καὶ ἐπηρώτησεν τὸν πατέρα αὐτοῦ, Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ ὁ δὲ εἶπεν, Ἐκ παιδιόθεν· 22 καὶ πολλάκις καὶ εἰς πῦρ αὐτὸν ἔβαλεν καὶ εἰς ὕδατα ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ εἴ τι δύνῃ, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ ἡμᾶς.*<br>*23 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Τὸ Εἰ δύνῃ, πάντα δυνατὰ τῷ πιστεύοντι.*<br>*24 εὐθὺς κράξας ὁ πατὴρ τοῦ παιδίου ἔλεγεν, Πιστεύω· βοήθει μου τῇ ἀπιστίᾳ.*<br>*25 ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος* | |
| *ἐπετίμησεν τῷ πνεύματι τῷ ἀκαθάρτῳ* | *ἐπετίμησεν δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ,* |
| *λέγων αὐτῷ, Τὸ ἄλαλον καὶ κωφὸν πνεῦμα, ἐγὼ ἐπιτάσσω σοι, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.* | |
| *26 καὶ κράξας καὶ πολλὰ* | |
| *σπαράξας ἐξῆλθεν·* | |
| *καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε τοὺς πολλοὺς λέγειν ὅτι ἀπέθανεν.* | |
| *27 ὁ δὲ Ἰησοῦς κρατήσας τῆς χειρὸς αὐτοῦ* | |
| *ἤγειρεν αὐτόν, καὶ ἀνέστη.* | *καὶ ἰάσατο τὸν παῖδα* |
| | *καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ.* |
| | *43 ἐξεπλήσσοντο δὲ πάντες* |
| | *ἐπὶ τῇ μεγαλειότητι τοῦ θεοῦ.* |
| *28 καὶ εἰσελθόντος αὐτοῦ εἰς οἶκον* | |
| *οἱ μαθηταὶ αὐτοῦ* | |
| *κατ ἰδίαν ἐπηρώτων αὐτόν,* | |
| *Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν* | |
| *ἐκβαλεῖν αὐτό* | |

*29 καὶ εἶπεν αὐτοῖς, Τοῦτο τὸ γένος
ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν
προσευχῇ.*

72 words out of 391 words = 18%